τέκνα, μή τι πάθηθ᾽ ὡς ὑπεραλγῶ.
δεινὰ τυράννων λήματα, καί πως
ὀλίγ᾽ ἀρχόμενοι, πολλὰ κρατοῦντες,
χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
τὸ γὰρ εἰθίσθαι ζῆν ἐπ᾽ ἴσοισιν
κρεῖσσον· ἔμοιγ᾽ οὖν, εἰ μὴ μεγάλως,
ὀχυρῶς γ᾽ εἴη καταγηράσκειν.
τῶν γὰρ μετρίων πρῶτα μὲν εἰπεῖν
τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
λῷστα βροτοῖσιν· τὰ δ᾽ ὑπερβάλλοντ᾽
οὐδένα καιρὸν δύναται θνατοῖς·
μείζους δ᾽ ἄτας, ὅταν ὀργισθῇ
  δαίμων, οἴκοις ἀπέδωκεν.

ΧΟΡΟΣ.

ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνου
Κολχίδος, οὐδέ πω ἤπιος· ἀλλά, γεραιά,
λέξον· ἐπ᾽ ἀμφιπύλου γὰρ ἔσω μελάθρου γόον ἔκλυον·
οὐδὲ συνήδομαι, ὦ γύναι, ἄλγεσι δώματος,
ἐπεί μοι φίλον κέκρανται.

ΤΡΟΦΟΣ.

οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ᾽ ἤδη.
τὸν μὲν γὰρ ἔχει λέκτρα τυράννων,
ἡ δ᾽ ἐν θαλάμοις τάκει βιοτὰν
δέσποινα, φίλων οὐδενὸς οὐδὲν
  παραθαλπομένα φρένα μύθοις.

ΜΗΔΕΙΑ.

αἰαῖ·
διά μου κεφαλᾶς φλὸξ οὐρανία
βαίη· τί δέ μοι ζῆν ἔτι κέρδος;
φεῦ φεῦ· θανάτῳ καταλυσαίμαν,
  βιοτὰν στυγερὰν προλιποῦσα.

ΧΟΡΟΣ.

ἄϊες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς,
ἰαχὰν οἵαν ἁ δύστανος
μέλπει νύμφα;
τίς σοί ποτε τᾶς ἀπλήστου